Φραντζ. Ἐκδ. Βόνν. 395,13 — Δημήτριος

15 αι

« Τοῦ δὲ ἀμηρᾶ φθάσαντος ἐν τῇ Σπάρτῃ [τῷ ,ς ϡξη' ἔτει] κατῆλθεν αὐτοθελῶς ὁ δεσπότης κὺρ Δημήτριος καὶ ἐδουλώθη αὐτῷ· καὶ οὕτως ὁ ἀμηρᾶς παρέλαβεν καὶ αὐτὸν καὶ τὴν Σπάρτην, καὶ τῷ δεσπότῃ φυλακὴν περιθεὶς εἶπεν αὐτῷ « ὦ δέσποτα, ἐπεὶ οὕτως συνέβη σοι τὰ πράγματα, τὸν τόπον τοῦτον ἄρχεσθαι ὑπὸ σοῦ ἀδύνατον. ὅμως ἐπεὶ πατέρα σε ἐστήσαμεν ἔχειν καὶ τὸ κοράσιόν σου λαβεῖν ἡμᾶς εἰς γυναῖκα, τὸν τόπον τοῦτον δὸς ἡμῖν, σὺ δὲ καὶ τὸ κοράσιόν σου ἔλθετε σὺν ἡμῖν, καὶ χαρίσομεν ὑμῖν ἕτερον τόπον πρὸς σιτηρέσιον ὑμῶν καὶ ζωάρκειαν » ὅς γε στέρξας καὶ ἀκουσίως ἐτελείωσε τὰ τοῦ γάμου καὶ τῶν ἑτέρων πραγμάτων.